οὗ χεῖρον ἔργον ὁ τοῦ ἀποστάτου κατέστη θάνατος, μετὰ πολλὰς ἄλλας, ὥρα εἰκὸς, ὁμιλίας τε καὶ συζητήσεις, τὸ ἀποστολικὸν προβαλλόμενος λόγιον, τὸ φάσκον· ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα, τά τε ἐν οὐρανῷ, καὶ τὰ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ, καὶ τὰ ἀόρατα, εἴτε θρόνοι, εἴται ἀρχαὶ, εἴτε ἐξουσίαι. τὰ πάντα δι' αὐτοῦ, καὶ εἰς αὐτὸν ἔκτισθη. καὶ αὐτός ἐστι πρὸ πάντων, καὶ τὰ πάντα ἐν αὐτῷ συνέστηκε. Γ τοῦτο δὴ προβεβλημένος τὸ ῥητὸν, ἀντανίστατο τῷ Συμεῶνι φάσκων. πῶς ἄρα μήποτε αὐτοί τε ἠπατημένοι ~~εἰσι~~ Γ καὶ τοὺς ἑπομένους συναπατῶσιν· οὐ τὸν ποιητὴν οὐρανοῦ καὶ γῆς θεὸν ἀληθῶς, καὶ πατέρα τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἐπιγράφοντες, ἀλλὰ περὶ τοῦτον ἕτερόν τινα, ὃν τὰ ἀποστολικὰ οὐκ ἐπίσταται λόγια; ἐκ ταύτης δὲ τῆς κινήσεως, ἐρίδος αὐτοῖς καὶ μάχης ἀσπόνδου συστάσης, προσέρχεται ὁ Ἰοῦστος τῷ Κολωνείας ἐπισκόπῳ, ὡς ἂν τὴν διάνοιαν τοῦ ἀποστολικοῦ ῥητοῦ καταλάβοι σαφέστερον· καὶ ἀνακαλύπτει πάντα, ὅσα αὐτῷ τε καὶ τοῖς συνοῦσι διεπράττετο. Ὁ δὲ ἀναφέρει ταῦτα τῷ βασιλεῖ. Ἰουστινιανὸς δὲ ἦν, ὁ μετὰ Ἡράκλειον τὴν βασιλείαν δεξάμενος, καὶ ὃς ἐρεύνῃ καὶ κρίσει δικαίᾳ τὰ κατ' αὐτοὺς ὑποβληθῆναι κελεύσας, τούς τε ἀμεταμελήτως ἔχοντας, καὶ τοὺς μετάνοιαν πάλαι μὲν ἐπαγγειλαμένους, ὁμοίως δὲ τὴν ἑαυτ~~ῶν~~ ~~ἀπο~~στασίαν περιπεπτόντας, τὸν διὰ πυρὸς ὑποστῆναι προσ~~έ~~ταξε θάνατον. Καὶ τὸ μὲν ἄλλο πλῆθος ἅμα Συμεῶνι τῷ καὶ Τίτῳ, οὕτω τὸ ζῆν πικρῶς ἐστερήθησαν. Π~~ϕ~~αῦλος δέ τις γένος Ἀρμένιος δύο παίδων πατὴρ, ὧν τῷ μὲν ἦν Γ ~~λ~~εγναίσιος, τῷ δὲ Θεόδωρος ὄνομα, τὸν θάνατον διαδιδράσκει, ~~ὃς~~ κατὰ πάσης τῆς ἀποστάτιδος μοίρας ἐψήφισο. καὶ παραγίνεται μὲν εἰς τὴν ἄνωθεν ἡμῖν ὀνομασθεῖσαν Ἐπίσπαριν, καὶ σπείρει ἐσπούδαζε τὴν ἀσέβειαν. Ἐκ τούτου δὴ τοῦ Π~~ϕ~~αύλου μερὶς οὐκ ἐλαχίστη τῆς ἀποστασίας, καὶ τὴν ἐπωνυμίαν ἕλκειν μᾶλλον, ἢ ἐκ τῶν

Γ ἐστὶν